**Σάββατο 22 Φεβρουαρίου.** Σαββάτῳ πρὸ τῆς Ἀποκρεω – Μνήμην ἐπιτελοῦμεν τῶν ἀπ' αἰῶνος κεκοιμημένων, ὀρθοδόξων χριστιανῶν, πατέρων καὶ ἀδελφῶν ἡμῶν· καὶ μνήμη τῆς εὑρέσεως τῶν λειψάνων τῶν ἁγίων μαρτύρων τῶν ἐν τοῖς Εὐγενίου.

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ Ἑσπερινῷ

Μετὰ τὸν προοιμιακὸν καὶ τὴν συνήθη στιχολογία τοῦ ιη' καθίσματος τοῦ Ψαλτηρίου, ἤτοι τὰ· *Πρὸς Κύριον*…εἰς τὸ· *Κύριε ἐκέκραξα*… ἱστῶμεν στίχους ϛ' καὶ ψάλλομεν στιχηρὰ μαρτυρικὰ γ' τοῦ ἤχου τῆς ἑβδομάδος· *Τῇ πρεσβείᾳ Κύριε*…*Ἡ ἐν σταδίῳ ὑμῶν ὁμολογία Ἅγιοι*…*Ὢ τῆς καλῆς ὑμῶν*…(ἅτινα εὑρίσκονται εἰς τὰ στιχηρὰ τοῦ εσπερινοῦ τοῦ α' ἤχου τοῦ Σαββάτου, ἐν τέλει τοῦ Τριῳδίου), καὶ τῶν κεκοιμημένων προσόμοια γ'· *Τῶν ἀπ' αἰῶνος σήμερον νεκρῶν*…*Ὁ τῷ οἰκείῳ αἵματι Σωτήρ*…*Τῇ ἐκ νεκρῶν ἐγέρσει σου Χριστέ*…(ἅτινα εὑρίσκονται εἰς τὸν ἑσπερινὸν τοῦ Σαββάτου πρὸ τῆς Ἀποκρεω). Δόξα…τὸ ἰδιόμελον· *Θρήνῶ καὶ ὀδύρομαι*…Καὶ νῦν…τὸ α' θεοτοκίον τοῦ ἤχου· *Τὴν Παγκόσμιον δόξαν*…Εἴσοδος, τὸ· *Φῶς ἱλαρόν*…Ἀντὶ δὲ προκειμένου, ψάλλομεν ἐκ γ' εἰς ἦχον πλ.δ' τὸ· *Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα*, τὸ πρῶτον ἄνευ στίχου, τὸ δεύτερον μετὰ τοῦ στίχου· *Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου Κύριε*, εἰς δε τὸ τρίτον τὸν στίχον· *Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν*. Εἶτα τὸ· *Καταξίωσον*…Εἰς τὸν στίχον, τὸ τέταρτον μαρτυρικὸν τοῦ ἤχου· *Πανεύφημοι Μάρτυρες ὑμᾶς*…(ἅτινα εὑρίσκεται εἰς τὰ στιχηρὰ τοῦ εσπερινοῦ τοῦ α' ἤχου τοῦ Σαββάτου, ἐν τέλει τοῦ Τριῳδίου), ἐν νεκρώσιμον· *Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης*…(ἅτινα εὑρίσκεται εἰς τὸν ἑσπερινὸν τοῦ α' ἤχου τοῦ Σαββάτου εἰς τὴν Παρακλητικήν), δευτεροῦντες αὐτὸ. Δόξα…τὸ ἰδιόμελον· *Ἀρχή μοι καὶ ὑπόστασις*…(ἅτινα εὑρίσκεται εἰς τὸν στίχον τοῦ ἑσπερινοῦ τοῦ Σαββάτου πρὸ τῆς Ἀποκρεω), Καὶ νῦν…τὸ θεοτοκίον αὐτοῦ· *Πρεσβείαις τῆς Τεκούσης σε*…Τό· *Νυν Ἀπολύεις*…Τὸ· *Τρισάγιον*.

Ἀπολυτίκιον· *Ὁ βάθει σοφίας*...Δόξα...τὸ τέλος αὐτοῦ· *Ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν*...Καὶ νῦν...τὸ θεοτοκίον· *Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν...*Ἐκτενὴς καὶ Ἀπόλυσις.

## Εἰς τὴν ἐν τῷ νάρθηκι Παννυχίδα ὑπὲρ τῶν κεκοιμημένων

Μετὰ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ ἐξερχόμενοι ἐν τῷ νάρθηκι ποιοῦμεν ἐκεῖ παννυχίδα ὑπὲρ τῶν κεκοιμημένων οὕτω: Ποιεῖ ὁ ἱερεὺς τὸν εὐλογητόν, καὶ ἀναγινώσκομεν τὸν 90ον ψαλμὸν· *Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου*...Είτα ψάλλομεν ἐκ γ' εἰς ἦχον πλ.δ' τὸ· *Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα,* τὸ πρῶτον ἄνευ στίχου, τὸ δεύτερον μετὰ τοῦ στίχου· *Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου Κύριε,* εἰς δε τὸ τρίτον τὸν στίχον· *Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.* Εἶτα τὸ ἀπολυτίκιον· *Ὁ βάθει σοφίας*...Δόξα...τὸ τέλος αὐτοῦ· *Ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν*...Καὶ νῦν...τὸ θεοτοκίον· *Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν*...Εὐθὺς τὰ *νεκρώσιμα Εὐλογητάρια,* μεθ' ἃ μνημονεύει ὁ ἱερεὺς κατὰ τὸ σύνηθες λέγων καὶ τὴν εὐχὴν· *Ὁ Θεὸς τῶν πνευμάτων*...Καὶ μετὰ τὴν ἐκφώνησιν, ὁ ν' ψαλμὸς χῦμα. Εὐθὺς ψάλλομεν τὸν νεκρώσιμον κανόνα τοῦ ἤχου, ἄνευ εἱρμοῦ, εἰς δ' τροπάρια· *Πύλας τοῦ θανάτου καὶ μοχλοὺς*...(ἅτινα εὑρίσκεται εἰς τὸν ὄρθρον τοῦ Σαββάτου εἰς τὴν Παρακλητικήν). Λέγομεν δὲ εἰς τὸ πρῶτον τροπάριον ἑκάστης ᾠδῆς στίχον· *Πρεσβείαις τῶν μαρτύρων σου Κύριε ἀναπαῦσον τὰς ψυχὰς τῶν δούλων σου,* εἰς τὸ δεύτερον τὸν στίχον· *Κύριε ἀναπαῦσον τὰς ψυχὰς τῶν δούλων σου,* εἰς τὸ τρίτον τὸ· *Δόξα*...καὶ εἰς τὸ θεοτοκίον τὸ· *Καὶ νῦν*...Μετὰ τὴν γ' ᾠδήν, ψάλλομεν τὸν εἱρμὸν αὐτῆς· *Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*...καὶ εὐθὺς μνημονεύει ὁ ἱερεύς. Εἶτα τὸ κάθισμα· *Ἀληθῶς ματαιότης τὰ σύμπαντα*...(ἅτινα εὑρίσκεται εἰς τὸν ὄρθρον τοῦ Σαββάτου εἰς τὸν πλ.β' ἦχον ἐν τέλει τοῦ Τριῳδίου). Δόξα...Καὶ νῦν...τὸ θεοτοκίον αὐτοῦ· *Ἐλπὶς τοῦ Κόσμου ἀγαθή*...Μετὰ τὴν ϛ' ᾠδήν, ψάλλομεν τὸν εἱρμὸν αὐτῆς· *Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος*...καὶ μνημονεύει ὁ ἱερεύς. Εἶτα ψάλλομεν τὸ κοντάκιον· *Μετὰ*

*τῶν Ἁγίων ἀναπαῦσον*...καὶ ἀναγινώσκομεν τὸν οἶκον αὐτοῦ· *Αὐτὸς μόνος ὑπάρχεις*...Καὶ αἱ λοιπαὶ ᾠδαὶ τοῦ κανόνος. Μετὰ τὴν θ' ψάλλομεν τὸν εἱρμὸν αὐτῆς· *Τύπον τῆς ἁγνῆς λοχείας σου*...μεθ' ὃν εὐθὺς τὸ τρισάγιον, καὶ τὸ ἀπολυτίκιον· *Ὁ βάθει σοφίας*...Δόξα...τὸ τέλος αὐτοῦ...Καὶ νῦν...τὸ θεοτοκίον· *Σὲ καὶ τεῖχος καὶ λιμένα*...Εἶθ' οὕτως μνημονεύει αὖθις ὁ ἱερεὺς ὡς συνήθως, καὶ γίνεται ἀπόλυσις.

## Εἰς τὸ μικρὸν Ἀποδεῖπνον – Εἰς τὸ μεσονυκτικὸν

Μετὰ τὸ· *Πιστεύω*...ὁ κανὼν τῆς Θεοτόκου· *Χαρᾶς αἰτία χαρίτωσον*...(κατ' ἦχον καὶ ἡμέραν ἐκ τοῦ Θεοτοκαρίου τοῦ Ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου). Εἰς τὸ τρισάγιον, τὸ κοντάκιον τῶν κεκοιμημένων· *Μετὰ τῶν Ἁγίων ἀναπαυσον*...Ἐν τέλει μετὰ τὸ· *Τῇ Ὑπερμάχῳ*...οἱ κδ' οἶκοι τῆς Θεοτόκου. Ἀπόλυσις. Τὸ Σαββάτῳ πρωΐ, τὸ μεσονυκτικὸν τοῦ Σαββάτου ὡς ἔθος, ἐν τῷ νάρθηκι.

## Ἐν τῷ Ὄρθρῳ

**Μετὰ τὸν εὐλογητόν**, τὸ· *Δεῦτε προσκυνήσωμεν*...καὶ οἱ ψαλμοί· *Ἐπακούσαι σου Κύριος*...*Κύριε, ἐν τῇ δυνάμει σου*...καὶ καθεξῆς ὁ ἑξάψαλμος. Μετὰ τὴν μετ' αὐτοῦ μεγάλην συναπτήν, ψάλλομεν ἐκ γ' εἰς ἦχον πλ.δ' τὸ· *Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα*. Τὸ μὲν πρῶτον, ἄνευ στίχου. Τὸ δὲ δεύτερον μετὰ τοῦ στίχου· *Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου Κύριε*, εἰς δὲ τὸ τρίτον τὸν στίχον· *Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται*. Εἶτα τὸ ἀπολυτίκιον· *Ὁ βάθει σοφίας*...Δόξα...τὸ τέλος αὐτοῦ· *Ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν*. Καὶ νῦν...τὸ θεοτοκίον· *Σὲ καὶ τεῖχος καὶ λιμένα*...Εἶτα στιχολογοῦμεν τὸ ις' κάθισμα τοῦ Ψαλτηρίου, ἡ συνήθης συναπτὴ, καὶ ψάλλομεν τὰ γ' μαρτυρικὰ καθίσματα εἰς ἦχον α' (ἅτινα εὑρίσκονται ἐν τῷ Ὄρθρῳ τοῦ Σαββάτου εἰς τὴν Παρακλητικὶν)· *Ὡς καλοὶ στρατιῶται ὁμοφρόνως πιστεύσαντες*...*Τὰς ἀλγηδόνας τῶν Ἁγίων*...*Τοὺς μάρτυρας Χριστοῦ*... ἓν νεκρώσιμον· *Ἐν τόπῳ φωτεινῷ*...Δόξα...Καὶ νῦν...τὸ θεοτοκίον αὐτοῦ·

*Θαῦμα θαυμάτων Κεχαριτωμένη*...Καὶ τὰ μὲν δύο πρῶτα μαρτυρικὰ καθίσματα ψάλλονται ἄνευ στίχου, πρὸ τοῦ τρίτου λέγομεν τὸν στίχον· *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ*. Πρὸ δὲ τοῦ νεκρωσίμου καθίσματος, τὸν στίχον· *Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου Κύριε*. Εἶτα Δόξα...Καὶ νῦν...τὸ θεοτοκίον αὐτοῦ. Μετὰ δὲ τάυτα στιχολογοῦμεν τὸν ἄμωμον εἰς στάσεις δύο, ἤτοι τὸ ιζ' κάθισμα τοῦ Ψαλτηρίου. Καὶ μετὰ τὴν α' τοῦ ἀμώμου στάσιν, ποιεῖ ὁ ἱερεὺς αἴτησιν λέγων· *Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων τοῦ Θεοῦ βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, μοναχῶν καὶ μοναζουσῶν, καὶ πάντων των ἀπὸ περάτων ἕως περτων τῆς οἰκουμένης κεκοιμημένων εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, πατέρων, προπατόρων, πάππων, προππάπων, γονέων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιον τε καὶ ἀκούσιον*. Ὁ ψάλτης· *Κύριε, ἐλέησον* τρίς. Ὁ ἱερεὺς: *Ὅπως Κύριος ὁ Θεὸς τάξῃ*...κλπ., καὶ ἡ ἐκφώνησις· *Ὅτι σὺ εἶ ἡ ἀνάστασις*...Καὶ εὐθὺς ἡ β' στάσις τοῦ ἀμώμου, μετὰ δὲ τὸ τελευταῖον στίχον ψάλλομεν τὰ *νεκρώσιμα εὐλογητάρια*. Καὶ μετὰ τὴν συμπλήρωσιν αὐτῶν, αὖθις ὁ ἱερεὺς μνημονεύει τῶν *ἀπ᾽ αἰῶνος* κεκοιμημένων ὡς ἀνωτέρω, λέγων συνάμα μετά το· *Ὅπως Κύριος ὁ Θεός*...καὶ τὴν εὐχήν· *Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός*...καὶ ἡ ἐκφώνησις· *Ὅτι σὺ εἶ ἡ ἀνάστασις*... Μεθ᾽ ἣν ψάλλομεν τὸ νεκρώσιμον κάθισμα· *Ἀναπαυσον Σωτὴρ ἡμῶν*...Δόξα...τὸ τέλος αὐτοῦ. Καὶ νῦν...τὸ Θεοτοκίον· *Ὁ ἐκ Παρθένου ἀνατείλας*...Εἶτα τὸ· *Κύριε ἐλέησον* γ'. Δόξα, καὶ νῦν, ὁ ν' ψαλμὸς χῦμα καὶ **ψάλλομεν τοὺς κανόνας, οὕτω:**

Τοῦ ἁγίου τῆς μονῆς ἢ τοῦ ἁγίου τοῦ ναοῦ, μετὰ τῶν εἱρμῶν, εἰς ϛ' τροπάρια καὶ ὅ του Τριῳδίου νεκρώσιμος, ἄνευ εἱρμῶν, εἰς η' τροπάρια. Στιχολογοῦμεν δὲ καὶ ὁλοκλήρους τὰς ᾠδὰς τοῦ κανόνος. Μεθ᾽ ἑκάστην δὲ ᾠδὴν ψάλλομεν καταβασίας τοὺς εἱρμοὺς τοῦ κανόνος· *Ἆσμα ἀναπέμψωμεν*...Συμπληρωθείσης τῆς α' ᾠδῆς, ψάλλομεν τὴν β' ᾠδὴν τοῦ

Τριῳδίου μετὰ τοῦ εἱρμοῦ εἰς η' λέγοντες εἰς τὰ τροπάρια στίχον· *Κύριε ἀναπαυσον τὰς ψυχὰς τῶν δούλων σου,* ἡ δὲ β' ᾠδὴ τοῦ Ψαλτηρίου οὐ στιχολογεῖται. Ἀπὸ γ' ᾠδῆς, τὸ κάθισμα τοῦ Τριῳδίου· *Ὁ δι' ἡμᾶς ὑπομείνας Σταυρόν*...Δόξα...τὸ *αὐτό*...Καὶ νῦν...τὸ θεοτοκίον· *Τὴν ταχεῖαν σου σκέπην*...Ἀφ' ἕκτης τὸ νεκρώσιμον κοντάκιον· *Μετὰ τῶν Ἁγίων ἀναπαυσον*...καὶ ὁ οἶκος αὐτοῦ· *Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος*...Τὸ συναξάριον τοῦ Μηναίου καὶ εἶτα τοῦ Τριῳδίου. **Ἡ τιμιωτέρα στιχολογεῖται**...Εἶτα ἡ θ' ᾠδὴ τῶν κανόνων, ἡ καταβασία· *Τὸν προδηλωθέντα*...τό· *Ἄξιόν ἐστίν*...καὶ ἡ αἴτησις.

**Ἐξαποστειλάριον** νεκρώσιμον· *Ὁ καὶ νεκρῶν καὶ ζώντων*...*Ἀναπαυσον τοὺς δούλους σου*...καὶ τὸ θεοτοκίον· *Μαρία Θεονύμφευτε*...Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια δ'· *Δεῦτε πρὸ τέλους πάντες Ἀδελφοί*...*Τὶ ἀπατᾶται ἄνθρωπος*...*Ὁ τῇ χειρί σου πλάσας*...*Χριστὸς ἀνέστη λύσας τῶν δεσμῶν*...Δόξα...τὸ ἰδιόμελον· *Ὡς ἄνθος μαραίνεται*...Καὶ νῦν...τὸ θεοτοκίον· *Χαῖρε Μαρία θεοτόκε*...Τό· *Σοὶ δόξα πρέπει*...καὶ εὐθὺς ἡ μικρὰ δοξολογία χῦμα. Εἶτα ὁ ἱερεὺς τό· *Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ*...Καὶ μετὰ τὴν ἐκφώνησιν, ψάλλομεν τὰ γ' ἀποστιχα νεκρώσιμα προσόμοια τοῦ α' ἤχου ἐκ τῆς Παρακλητικῆς· *Σοῦ Σῶτερ δεόμεθα τῆς σῆς*...*Οὐδεὶς ἀναμάρτηρος οὐδείς*...*Ὑπὲρ τὰ ὁρώμενα τὰ σὰ*...μετὰ τοὺς πρὸ αὐτῶν στίχους. Δόξα...τὸ ἰδιόμελον (ἐκ τοῦ Τριωδίου)· *Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν*... Καὶ νῦν...τὸ θεοτοκίον· *Σὺ εἶ ὁ Θεὸς ἡμῶν,*...Εἶτα τό· *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι*...τό· Τρισάγιον, καὶ τὰ ἀπολυτίκια ὡς ἐν τῷ· *Θεὸς Κύριος*...Ἐκτενής, καὶ συνάπτομεν τὴν α' ὥρα, μεθ' ἣν ἀπόλυσις.

## Ἐν ταῖς ὥραις

Μετὰ τὰς ἀναγνώσεις τῶν ψαλμῶν, Δόξα...τὸ ἀπολυτίκιον· *Ὁ βάθει σοφίας*...Καὶ νῦν...τὸ θεοτοκίον τῶν ὡρῶν. Εἰς δὲ τὸ τρισάγιον, τὸ κοντάκιον τῶν κεκοιμημένων· *Μετὰ τῶν ἁγίων ἀναπαυσον*...

## Εἰς τὴν Θείαν Λειτουργίαν

Τὰ τυπικὰ καὶ ἐν τοῖς μακαρισμοῖς ἐκ τοῦ κανόνος τοῦ Τριωδίου ἡ γ' καὶ ἡ ς' ᾠδὴ εἰς η' τροπάρια. Εἴσοδος...Εἰσοδικὸν· *ὁ ἐν ἁγίοις θαυμαστός*...Ἀπολυτίκια μετὰ τὴν εἴσοδον· *Ὁ βάθει σοφίας*...τοῦ ἁγίου τῆς μονῆς ἢ τοῦ ναοῦ...Δόξα...Καὶ νῦν...τὸ κοτάκιον τῶν κεκοιμημένων· *Μετὰ τῶν ἁγίων ἀνάπαυσον*...Προκείμενον νεκρώσιμον. **Ἀπόστολος: α.** τῆς ἡμέρας· *Πάντα μοι ἔξεστιν*...(Κορ. ι' 23-28), ὁ ζήτει τῷ Σαββάτῳ τῆς λε' ἑβδομάδος τῶν ἐπιστολῶν τοῦ Ἀποστόλου Παύλου, **β.** νεκρώσιμος· *Οὐ θέλω ὑμᾶς ἀγνοεῖν*...(Θεσ. δ' 13-17). Ἀλληλουϊάριον νεκρώσιμον. **Εὐαγγέλιον** ὁμοίως: **α.** τῆς ἡμέρας· *Βλέπετε μὴ πλανηθῆτε*...(Λουκ. κα' 8-9, 25-27, 33-36), ὁ ζήτει τῷ Σαββάτῳ πρὸ τῆς Ἀποκρεω, **β.** νεκρώσιμον· *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων*...(Ιων. ε' 24-30). Εἰς τὸ ἐξαιρέτως, τὸ· *Ἄξιόν ἐστιν*...Κοινωνικὸν· *Μακάριοι οὓς ἐξελέξω*...Εἶτα τὸ· *Εἴδομεν τὸ Φῶς*...Μετὰ δὲ τὴν ὀπισθάμβωνν εὐχήν, τὸ· *Εἴη τὸ ὄνομα Κυρίου*...Δόξα...Καὶ νῦν...οἱ ψαλμοὶ· *Εὐλογήσω τὸν Κύριον*...καὶ *Ὑψώσω σέ, ὁ Θεός μου*...Ἀπόλυσις.

**Σημείωσις:** Ἡ ἀκολουθία τῶν ἁγίων μαρτύρων τῶν ἐν τοῖς Εὐγενίου, ψάλλεται τῇ Πέμπτῃ ἑσπέρας ἐν τοῖς ἀποδείπνοις.